Cours de littérature grecque
Semestre d'automne 2023
**Chanter la victoire : Pindare, Simonide et Bacchylide**
Lectures en marge du cours de littérature n° 8

**Pindare, *Isthmique* 6.24-52**
Naissance d'Ajax.

οὐδ' ἔστιν οὕτω βάρβαρος
  οὔτε παλίγγλωσσος πόλις,
ἅτις οὐ Πηλέος ἀΐει κλέος ἥ-
  ρωος, εὐδαίμονος γαμβροῦ θεῶν,
οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα
καὶ πατρός· τὸν χαλκοχάρμαν ἐς πόλεμον
ἆγε σὺν Τιρυνθίοισιν πρόφρονα σύμμαχον ἐς
  Τροΐαν, ἥρωσι μόχθον,
Λαομεδοντιᾶν ὑπὲρ ἀμπλακιᾶν
ἐν ναυσὶν Ἀλκμήνας τέκος.
εἷλε δὲ Περγαμίαν, πέφνεν δὲ σὺν κείνῳ Μερόπων
ἔθνεα καὶ τὸν βουβόταν οὔρεϊ ἴσον
Φλέγραισιν εὑρὼν Ἀλκυο-
  νῆ, σφετέρας δ' οὐ φείσατο
χερσὶν βαρυφθόγγοιο νευρᾶς
Ἡρακλέης. ἀλλ' Αἰακίδαν καλέων
ἐς πλόον <—> κύρησεν δαινυμένων.
τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο νε-
  κταρέαις σπονδαῖσιν ἄρξαι
καρτεραίχμαν Ἀμφιτρυωνιάδαν,
ἄνδωκε δ' αὐτῷ φέρτατος
οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμών,
ὁ δ' ἀντείναις οὐρανῷ χεῖρας ἀμάχους
αὔδασε τοιοῦτον ἔπος·
  'Εἴ ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ,
θυμῷ θέλων ἀρᾶν ἄκουσας,
νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις
λίσσομαι παῖδα θρασὺν ἐξ Ἐριβοίας
ἀνδρὶ τῷδε ξεῖνον ἁμὸν μοιρίδιον τελέσαι·
τὸν μὲν ἄρρηκτον φυάν, ὥσ-
  περ τόδε δέρμα με νῦν περιπλανᾶται
θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ
θυμὸς δ' ἑπέσθω.' ταῦτ' ἄρα
  οἱ φαμένῳ πέμψεν θεός
ἀρχὸν οἰωνῶν μέγαν αἰετόν· ἁ-
  δεῖα δ' ἔνδον νιν ἔκνιξεν χάρις,
εἶπέν τε φωνήσαις ἅτε μάντις ἀνήρ
'Ἔσσεταί τοι παῖς, ὃν αἰτεῖς, ὦ Τελαμών (…).'